**38** Tzetz. in Lyc. 690

*ὦ Ζεῦ, πάτερ ⟨Ζεῦ⟩, θεῶν Ὀλυμπίων πάλμυ,*
*τί μοὐκ ἔδωκας χρυσόν, ἀργύρου †πάλμυ;*

**39** Tzetz. schol. *π. μέτρων*, *An. Ox.* iii. 308 Cramer

*κακοῖσι δώσω τὴν πολύστονον ψυχήν,*
*ἢν μὴ ἀποπέμψηις ὡς τάχιστά μοι κριθέων*
*μέδιμνον, ὥς ἂν ἀλφίτων ποιήσωμαι*
*κυκεῶνα πίνειν φάρμακον πονηρίης.*

**40** Id. ib. 310

*{Ἀθηνᾶ} Μαλὶς †κονισκε, καί με δεσπότεω βεβροῦ*
*λαχόντα λίσσομαί σε μὴ ῥαπίζεσθαι.*

**41** *Et. Gen.* / *Sym.* s.v. *ἀρειή*

*καὶ νῦν ἀρειᾶι σύκινόν με ποιῆσαι.*

**42** Tzetz. schol. *π. μέτρων*, *An. Ox.* iii. 310 Cramer

*†τέαρε[. . . . .]δεύειε† τὴν ἐπὶ Σμύρνης*
*ἰθὺ διὰ Λυδῶν παρὰ τὸν Ἀττάλεω τύμβον*
*καὶ σῆμα Γύγεω καὶ [Σεσώ]στρ[ιος] στήλην*